τῷ πίσυνος δ' αὖθις Δαυΐδος ἄναξ χ' ὑποφήτης (π)
κάκτανε τυτθὸς ἐὼν λᾶϊ γίγαντα μέγαν,
ἐκφυγεεῖα χέρας τε Σαοὺλ κακὰ μηχανόωντος (ρ),
κἄλλων δυσμενέων ἐλπίδι τῇδε μόνῃ.
Ἐζεκίας νοσέων δ' ὁ κῆρ' ἀλέεινε μέλαιναν (σ)
ἀγχιθανής περ ἐὼν εὔγμασι δάκρυσί τε;
ἐκ Γ'αειρος ἔπειτα θύγατρ' ἣν ζωὸν ἔδεκτο (τ),
ἄλλος δ' υἱέα σῶν, ἐκ ἀλαός τε φάος;
ἄλλοι παμπολέες δὲ, τέων κλέος οὔποτ' ὀλεῖται (υ),
οὐχ ὁ τέων ἐχάτευν ἐλπίδι τῇδε λάχον;
ὄλβιος ἄρ τελέθει πᾶς τις βροτὸς, ὅς γ' ἀκεραίῃ (φ)
ζῶντι θεῷ μολέει τῷ πίσυνος κραδίῃ·
πιτνεῖ ποτνιόων τε καὶ ὄμμασι δακρυχέουσι
ξὺν χθαμαλοφροσύνῃ δίζεται ὧν χατέει·
τοῦ γὰρ ἄφαρ τε κλύει θεὸς ἵλαος, ἐνδυκέως θ' οἱ (χ)
πᾶν ἀγαθὸν παρέχει ξύμφορον οἱ τελέθον
οἷ' ἀγαθῶν δώτωρ· οὐ μὴν ἀκαθάρτῳ ἀλιτρῷ,
ἀλλὰ καθηραμένῳ θυμὸν ὁμοῦ τε δέμας.
οὐ γὰρ ἀτασθαλέοντος ὄπα κλύει, εἰσόκε κεῖνος (ψ)
καμμένῃ ἐμμενέως ἧσιν ἀτασθαλίῃς·
ἔμπαλι δ' αὖ πανάποτμος ὃς ἀφραδίῃσιν ἑῇσιν
οὔποτ' ἐπουρανίων αἰδίων τ' ἀλέγει,

ἐν

(π) α. βασιλ. ιζ. 45. 49. (ρ) ιθ. 10. β. βασιλ. ιε. 16. ψαλμ. ι. (σ) δ. βασ. κ. 1 (τ) Μάρκ. ε. 22. θ. 17. ι. 47. (υ) Κριτ. ια. 30. ιγ. 9. α. βασ. α. 11. σοφ. σολ. θ. Ματθ. θ. 20. ιε. 22. (φ) ψαλμ. λγ. λθ. (χ) ψαλμ. ρα. (ψ) ψαλμ. ε. Ἰωαν. θ. 31.